ἔκανεν Ἑλλάνων
δορὶ παρὰ ποταμὸν ὀλομένους, ὅθι
δάκρυα δάκρυσι ἔπεσε σιδαρέοισι
βέλεσιν ἀμφὶ τὰς Σκαμάνδρου δίνας.
ΧΟ. σιγᾶτε σιγᾶτ᾽· ᾐσθόμην κτύπου τινὸς
κέλευθον εἰσπεσόντος ἀμφὶ δώματα.
ΗΛ. ὦ φίλταται γυναῖκες, εἰς μέσον φόνον
ἥδ᾽ Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
στείχει γὰρ εἰσπεσοῦσα δικτύων βρόχους.
καλὸν τὸ θήραμ᾽, ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ᾽ ἡσύχῳ μὲν ὄμματι,
χρόᾳ τ᾽ ἀδήλῳ τῶν δεδραμένων πέρι·
κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
ὦ παρθέν᾽, ἥκεις τὸν Κλυταιμνήστρας τάφον
στέψασα καὶ σπείσασα νερτέροις χοάς;
ΕΡ. ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά μοι
φόβος τις εἰσελήλυθ᾽, ἥντιν᾽ ἐν δόμοις
τηλουρὸς οὖσα δωμάτων κλύω βοήν.
ΗΛ. τί δ᾽; ἄξι᾽ ἡμῖν τυγχάνει στεναγμάτων.
ΕΡ. εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;
ΗΛ. θανεῖν Ὀρέστην κἄμ᾽ ἔδοξε τῇδε γῇ.
ΕΡ. μὴ δῆτ᾽, ἐμούς γε συγγενεῖς πεφυκότας.
ΗΛ. ἄραρ᾽· ἀνάγκης δ᾽ εἰς ζυγὸν καθέσταμεν.
ΕΡ. ἦ τοῦδ᾽ ἕκατι καὶ βοὴ κατὰ στέγας;
ΗΛ. ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ
ΕΡ. τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
ΗΛ. τλήμων Ὀρέστης μὴ θανεῖν, ἐμοῦ θ᾽ ὕπερ.
ΕΡ. ἐπ᾽ ἀξίοισί τἄρ᾽ ἀνευφημεῖ δόμος.
ΗΛ. περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
ἀλλ᾽ ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ᾽ ὀλβίᾳ,

---

1309. ἔπεσε A *συνέπεσε ἔπεσε* E *συνέπεσε* F *συνέπεσον ἔπαισε* c *ἔπεσε C* (?) 1318. *χρόᾳ* AE *χροιᾷ* ceteri. *πεπραγμένων* F 1323. *με* c 1329. *ἐμοῦ* A*C* 1333. *οὐ γάρ* AF *οὐδέν* Ec*C* *ἢν μὴ σύ C* 1337. *καὶ* om. *C*